# 8 The Scholia in Paris, BnF, suppl. gr. 1225 (GA 1293), ff. 134r–218v

### 1. f. 134r (ad. Luke 1:1)

Τὸ ἐπεχείρησαν ἀντὶ τοῦ χωρὶς χαρίσματος ἦλθον εἰς τὴν ἀναγραφὴν τῶν Εὐαγγελίων τινές. Ματθαῖος γὰρ οὐκ ἐπεχείρησεν, ἀλλ' ἔγραψεν ἀπὸ ἁγίου Πνεύματος, ὁμοίως καὶ Μάρκος καὶ Ἰωάννης καὶ Λουκᾶς. Τὸ μέντοι κατ' Αἰγυπτίους ἐπιγεγραμμένον, καὶ τὸ ἐπιγεγραμμένον τῶν ιβʹ οἱ συγγράψαντες ἐπεχείρησαν.

### 2. f. 134r Luke (ad Luke 1:5)

Τὸ ἐξ ἐφημερίας Ἀβιὰ δηλοῖ, ὅτι δύο ἦσαν ἱερεῖς ἐκ διαδοχῆς τὴν λειτουργίαν ποιοῦντες, Ἀβιὰ οὕτω λεγόμενος, καὶ Ζαχαρίας. Ἐφημερίαν δὲ χρὴ νοεῖν οὐ τὸ πρὸς ἡμέραν παραμένειν καὶ λειτουργεῖν ἀλλὰ τὸ πρὸς ἑβδομάδα.

### 3. f. 159r (ad Luke 1:14)

Σίκερα πᾶν τὸ μέθην ἐμποιοῦν, μὴ ὂν δὲ ἐξ ἀμπέλου.

### 4. f. 159r (ad Luke 1:17)

Πατέρες τῶν ἀποστόλων οἱ Ἰουδαῖοι. Τοιαύτη γὰρ ἡ τοῦ Ἰωάννου διακονία, ὡς ἐπιστρέψαι τὰς τῶν Ἰουδαίων καρδίας εἰς τὴν τῶν Ἀποστόλων διδασκαλίαν· οὕτως νοήτε καὶ τὸ ἀπειθεῖς ἐν φρονήσει.

---

**1, 1–4** Τὸ … ἐπεχείρησαν Orig. Hom. 1.4,4–19; Orig. Scholia 17.312,20–28; Nicetas Seides 23.270,3–9; Cramer 2.6.21–27 **2, 1–3** Τὸ … ἑβδομάδα fontem non inveni; Cramer 2.7,19–24 **3, 1** Σίκερα … ἀμπέλου fontem non inveni Cramer 2.9,1–2 **4, 1–3** Πατέρες … φρονήσει fontem non inveni; Cramer 2.9,21–22

---

**1, 1** ἀντὶ … εἰς] λεληθυῖαν ἔχει κατηγορίαν τῶν χωρὶς χαρίσματος ἐλθόντων ἐπὶ Orig. Hom. 1.4,5–6: λεληθυῖαν ἔχει κατηγορίαν τῶν προπετῶς καὶ χωρὶς χαρίσματος ἐλθόντων ἐπὶ Orig. Scholia 17.312,21–22 **2** ἀπὸ] P Orig. Hom. 1.4,9; ἐξ Orig. Scholia 17.312,24 **3** καὶ Λουκᾶς] παραπλησίως δὲ καὶ Λουκᾶς Orig. Hom. 1.4,10-11: παραπλησίως, καὶ Λουκᾶς Orig. Scholia 17.312,25-26 **3–4** κατ' Αἰγυπτίους ἐπιγεγραμμένον] ἐπιγεγραμμένον κατὰ Αἰγυπτίους εὐαγγέλιον Orig. Hom. 1.4,17–18 Orig. Scholia 17.312,26–27 **4** ιβʹ] Δώδεκα εὐαγγέλιον Orig. Hom. 1.4,19; Orig. Scholia 17.312,28

Open Access. © 2024 Panagiotis Manafis, published by De Gruyter. BY-NC-ND This work is licensed under the Creative Commons Attribution-NonCommercial-NoDerivatives 4.0 License.
https://doi.org/10.1515/9783111325118-008

**5. f. 159v (ad Luke 1:25)**

Ὄνειδος τὴν ἀτεκνίαν λέγει. Ὄνειδος γὰρ ἦν τοῖς τότε.

**6. f. 160r (ad Luke 1:34)**

Τῷ μὲν Ζαχαρίᾳ συγγινώσκει ὁ Ἄγγελος ἀπιστήσαντι, διότι πολλὰ παραδείγματα εἶχεν. Ἡ δὲ Παρθένος οὐκ εἶχεν, διὸ οὐδὲ ἐπετιμήθη, ἀλλ᾽ εἰποῦσα πῶς ἔμαθεν τὸν τρόπον· πνεῦμα γὰρ φησὶ ἅγιον καὶ τὰ ἑξῆς.

**7. f. 135r (ad Luke 3:5)**

Φάραγγες καὶ βουνοὶ καὶ ὄρη τὰ πάθη λέγει καὶ τάς τῶν δαιμόνων ἐπαναστάσεις, τὸν Χριστὸν γὰρ ἐλθόντες ἡ ὁδὸς τῆς ἀρετῆς λεία ἐγέγενετο.

**8. f. 138r (ad Luke 4:5)**

Ἀντὶ τοῦ διέγραψε τῷ λόγῳ τὴν οἰκουμένην, καὶ ὥσπερ τρόπον τινὰ ἐν τῇ διανοίᾳ αὐτοῦ ὑπεδείκνυεν ὡς ᾤετο·

**9. f. 144v (ad Luke 6:1)**

Δευτερόπρωτον λέγεται, ἐπειδὴ δεύτερον μὲν ἦν τοῦ Πάσχα, πρῶτον δὲ τῶν Ἀζύμων. Εἰ δὲ Σαββάτῳ εἴρηται, μὴ θαυμάσῃς. Σάββατον γὰρ πᾶσαν ἑορτὴν καλοῦσιν. Καὶ διὰ τοῦτ᾽ εἴρηται Σάββατα σαββάτων.

---

**5, 1** Ὄνειδος[1]…τότε fontem non inveni **6, 1–2** Τῷ…εἶχεν[1] fontem non inveni; Cramer 2.13,1–2 **7, 1–2** Φάραγγες…ἐγέγενετο fontem non inveni **8, 1–2** Ἀντὶ…ᾤετο Orig. fr. 97a,2–4; Cramer 2.35,1–3 **9, 1–2** Δευτερόπρωτον…Ἀζύμων Isidor. Pelus. Epist. 110,6–7 **2–3** Εἰ…σαββάτων Isidor. Pelus. Epist. 110,20–22; Cramer 2.47,22–26

---

**8, 1** οἰκουμένην] φησί add. Orig. fr. 97a,2 **9, 1** λέγεται] εἴρηται Isidor. Pelus. Epist. 110,6

### 10. f. 171v (ad Luke 10:18)

Τὸ *ἐθεώρουν τὸν Σατανᾶν* τοῦτο δηλοῖ· ὅτι εἰ ὁ βασιλεὺς αὐτῶν ἔπεσεν, τί βούλοιντ’ ἂν οἱ ὑπήκοοι καὶ δοῦλοι αὐτοῦ.

### 11. f. 172v–173r (ad Luke 10:30)

Εἶπεν ὁ Χριστός, *ἄνθρωπός τις κατέβαινεν*, τὴν ἄνωθεν κάθοδον τοῦ ἀνθρώπου αἰνίττεται, λῃστὰς δὲ τὸ τῶν ἀγρίων δαιμόνων σύστημα, ἱμάτια τὰς ἀρετὰς πληγὰς τῆν ἁμαρτίαν, διὰ δὲ τοῦ ἱερέως καὶ τοῦ Λευΐτου τοῦ νόμου ἀνωφελῆ ση(μαίνει) πάροδον. Σαμαρείτην δὲ ἑαυτὸν εἴπεν διὰ τὸ οὕτῳς ἀκούσας αὐτὸν ὑπὸ τῶν Ἰουδαίων, κτῆνος τὸ ἴδιον σῶμα, οἶνον τὸν διδασκαλικὸν καὶ στυφώδη λόγο, ἔλαίῳ τὴν φιλονικίαν, πανδοχείον τὴν ἐκκλησίαν, πανδοχέας τοῖς ἀποστόλοις καὶ διδασκάλοις, δηνάρια τὰς β′ διαθήκας, ἐπαναστροφὴν τὴν δευτέρας αὐτοῦ παρουσίας.

**10, 1–2** Τὸ…αὐτοῦ fontem non inveni **11, 1–2** Εἶπεν…αἰνίττεται Orig. fr. 169,1; Cramer 2.87,17–18 **2** λῃστὰς…σύστημα Orig. fr. 169,4–5 **2–3** ἱμάτια…ἁμαρτίαν fontem non inveni **3–4** διὰ…πάροδον Orig. fr. 169,7–8 **5–6** οἶνον…φιλονικίαν Orig. fr. 169,9–10; Cramer 2.88,22-23 **6** πανδοχείον…ἐκκλησίαν Orig. fr. 169,10; Cramer 2.88,28 | πανδοχέας… διδασκάλοις Orig. fr. 169,12–13; Cramer 2.89,4–5 **7** δηνάρια…διαθήκας Orig. fr. 169,15; Cramer 2.89,8–9 | ἐπαναστροφὴν…παρουσίας fontem non inveni

**11, 2** αἰνίττεται] αἰνιττόμενος Orig. fr. 169,1 | δὲ] λέγει add. Orig. fr. 169,4 **3** δὲ om. Orig. fr. 169,7 | τοῦ νόμου ἀνωφελῆ] τὴν ἀνωφελῆ τοῦ νόμου Orig. fr. 169,7 **5** οἶνον] τοῖς ἕλκεσιν ἐπαντλῶν add. Orig. fr. 169,9 | καὶ στυφώδη λόγο] λόγον καὶ ἐπιστύφοντα Orig. fr. 169,9